τῶν κύκλῳ συνεπιτιθεμένων μοι, ἀνάστα
κύριε σῶσόν με ὁ θεός μου.
Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραί-
νοντάς μοι ~~δωρεὰν~~ ματαίως, ὀδόντας
ἁμαρτωλῶν συνέτριψας.
Τοῦ κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν
σου ἡ εὐλογία σου.

¶ Εἰς τὸ τέλος ἐν ὕμνοις. ψαλμὸς τῷ
Δαβίδ. ¶ δ΄.

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκου-
σέ μου ὁ θεὸς τῆς δικαιοσύνης
μου, ἐν θλίψει ἐπλάτυνάς με.
Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς
προσευχῆς μου.
Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδι-
οι, ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζη-
τεῖτε ψεῦδος;
Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύριος
τὸν ὅσιον αὐτοῦ, κύριος εἰσακούσεταί
μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.
Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε, ἃ λέγετε
ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις

ὑμῶν